## HERODOTUS, HISTORIES, 1.10–12

10. [1] ὃ μὲν δὴ ὡς
οὐκ ἐδύνατο διαφυγεῖν,
ἦν ἕτοιμος·
ὁ δὲ Κανδαύλης,
ἐπεὶ ἐδόκεε
ὥρη τῆς κοίτης εἶναι,
ἤγαγε τὸν Γύγεα
ἐς τὸ οἴκημα.
καὶ μετὰ ταῦτα
αὐτίκα παρῆν
καὶ ἡ γυνή.

ἐσελθοῦσαν δὲ
καὶ τιθεῖσαν τὰ εἵματα
ἐθηεῖτο ὁ Γύγης.

[2] ὡς δὲ κατὰ νώτου ἐγένετο
ἰούσης τῆς γυναικός
ἐς τὴν κοίτην,
ὑπεκδὺς
ἐχώρεε ἔξω,
καὶ ἡ γυνὴ ἐπορᾷ
μιν ἐξιόντα.

μαθοῦσὰ δὲ τὸ ποιηθέν
ἐκ τοῦ ἀνδρὸς
οὔτε ἀνέβωσε
αἰσχυνθεῖσα
οὔτε ἔδοξε μαθεῖν,
ἐν νοῷ ἔχουσα
τίσεσθαι τὸν Κανδαύλεα.

[3] παρὰ γὰρ τοῖσι Λυδοῖσι,
σχεδὸν δὲ καὶ
παρὰ τοῖσι ἄλλοισι βαρβάροισι
καὶ ἄνδρα
ὀφθῆναι γυμνόν
ἐς αἰσχύνην μεγάλην
φέρει.

11. [1] τότε μὲν δὴ
οὕτω οὐδέν δηλώσασα
ἡσυχίην εἶχε.
ὡς δὲ ἡμέρη
τάχιστα ἐγεγόνεε,
τῶν οἰκετέων
τοὺς μάλιστα ὥρα
πιστοὺς ἐόντας ἑωυτῇ,
ἑτοίμους ποιησαμένη
ἐκάλεε τὸν Γύγεα.

ὁ δὲ οὐδὲν δοκέων
αὐτήν τῶν πρηχθέντων ἐπίστασθαι
ἦλθε καλεόμενος·
ἐώθεε γὰρ
καὶ πρόσθε,
ὅκως ἡ βασίλεια καλέοι,
φοιτᾶν.

[2] ὡς δὲ ὁ Γύγης ἀπίκετο,
ἔλεγε ἡ γυνὴ τάδε.

«νῦν τοί δυῶν ὁδῶν παρεουσέων
Γύγη δίδωμί αἵρεσιν,
ὁκοτέρην βούλεαι τραπέσθαι.

ἢ γὰρ Κανδαύλεα ἀποκτείνας
ἐμέ τε καὶ τὴν βασιληίην ἔχε
τὴν Λυδῶν,
ἢ αὐτόν σε
αὐτίκα οὕτω
ἀποθνήσκειν δεῖ,
ὡς ἂν μὴ
πάντα πειθόμενος Κανδαύλῃ
τοῦ λοιποῦ
ἴδῃς τὰ μὴ σε δεῖ.

[3] ἀλλ᾽ ἤτοι κεῖνόν γε
τὸν ταῦτα βουλεύσαντα
δεῖ ἀπόλλυσθαι,
ἢ σε
τὸν ἐμὲ γυμνήν θεησάμενον
καὶ ποιήσαντα οὐ νομιζόμενα.»

ὁ δὲ Γύγης τέως μὲν
ἀπεθώμαζε τὰ λεγόμενα,
μετὰ δὲ ἱκέτευε μὴ
μιν ἀναγκαίῃ
ἐνδέειν διακρῖναι
τοιαύτην αἵρεσιν.

[4] οὔκων δὴ ἔπειθε,
ἀλλ᾽ ὥρα
ἀναγκαίην ἀληθέως προκειμένην
ἢ τὸν δεσπότεα ἀπολλύναι
ἢ αὐτὸν ὑπ᾽ ἄλλων ἀπόλλυσθαι·
αἱρέεται αὐτὸς περιεῖναι.

ἐπειρώτα δὴ
λέγων τάδε.

«ἐπεί με ἀναγκάζεις
δεσπότεα τὸν ἐμὸν κτείνειν
οὐκ ἐθέλοντα,
φέρε ἀκούσω
τέῳ καὶ τρόπῳ ἐπιχειρήσομεν αὐτῷ.»

[5] ἣ δὲ ὑπολαβοῦσα
ἔφη
«ἐκ τοῦ αὐτοῦ μὲν χωρίου
ἡ ὁρμὴ ἔσται
ὅθεν περ καὶ ἐκεῖνος
ἐμέ ἐπεδέξατο γυμνήν,
ὑπνωμένῳ δὲ
ἡ ἐπιχείρησις ἔσται.»

12. [1] ὡς δὲ ἤρτυσαν
τὴν ἐπιβουλήν,
νυκτὸς γενομένης
(οὐ γὰρ ἐμετίετο ὁ Γύγης,
οὐδέ οἱ ἦν
ἀπαλλαγὴ οὐδεμία,
ἀλλ᾽ ἔδεε
ἢ αὐτὸν ἀπολωλέναι
ἢ Κανδαύλεα)
εἵπετο ἐς τὸν θάλαμον τῇ γυναικί,
καί μιν ἐκείνη,
ἐγχειρίδιον δοῦσα,
κατακρύπτει
ὑπὸ τὴν αὐτὴν θύρην.

[2] καὶ μετὰ ταῦτα
ἀναπαυομένου Κανδαύλεω
ὑπεκδύς τε καὶ ἀποκτείνας αὐτὸν
ἔσχε
καὶ τὴν γυναῖκα
καὶ τὴν βασιληίην Γύγης
τοῦ καὶ
Ἀρχίλοχος ὁ Πάριος
κατὰ τὸν αὐτὸν χρόνον
γενόμενος
ἐν ἰάμβῳ τριμέτρῳ
ἐπεμνήσθη.